ἄγει τὸν διδάσκαλον. Ἐμαυτὸν μὲν ἐλέγχω, ἀλλ' ἐπιμένω τοῖς κακοῖς, καὶ οὐ παύομαι ἐξομολογούμενος. Τοῦτο μόνον εἰδὼς εἰς ἀπολογίαν συναίρεσθαι, βλέπων οὐχ ὁρῶ, ἐπειδὴ μετανοῶν, πάλιν πλημμελῶ. Οὐ γνωσιμαχῶ περὶ τὴν διάγνωσιν τῶν γινομένων, ἀλλὰ τῆς ἐμῆς κατηγορῶ μετανοίας. Ἐπειδὴ ὡς δοῦλός εἰμι τῆς ἁμαρτίας, καὶ μὴ θέλων ποιῶ τὸ κακόν· καὶ ὡς στρατευθεὶς τῇ ἁμαρτίᾳ ὑποτάσσομαι, ὅτι καὶ μὴ δυνάμενος, τελοῦμαι αὐτῇ, διὰ τὸ ἦθος τὸ βασιλεῦσάν μου τῆς διανοίας· ὀψώνια λαμβάνω τῆς σαρκὸς, τῶν παθῶν ἐπιμελούμενος. Οἶδα τὴν ἐν ἐμοὶ πρόληψιν τῆς φθορᾶς, καὶ ὅτε κελευσθῶ, ἐργάζομαι αὐτήν. Φεύγω τὸν μέλλοντα πόνον, καὶ ὡς κύων ἀλυσίδετος ἐπιστρέφω πρὸς τὸν ἐπιτάσσοντα. Μισῶ μὲν τὴν ἁμαρτίαν, ἀλλ' ἐπιμένω τῷ πάθει. καὶ ἀποδιδράσκω μὲν τῆς παρανομίας, κρατοῦμαι δὲ καὶ μὴ θέλων ὑπὸ τῆς ἡδονῆς. Ἐδούλωσα τὴν φύσιν πρὸς ἁμαρτίαν, καὶ πηγάζει κατ' ἐμοῦ τὴν ἀνάγκην· ὠνηθεῖσα τὴν προαίρεσιν, ἀναβρύουσι κατ' ἐμοῦ τὰ πάθη, τὴν γὰρ διάνοιαν ἥνωσα τῇ σαρκὶ, καὶ χωρισμὸν οὐ προσδέχεται. Σπουδάζω τὴν προαίρεσιν μεταβαλεῖν, καὶ ἡ προλαβοῦσα κατάστασις ἀνθίσταταί μοι. Ἐπείγομαι τοῦ ἐλευθερῶσαί μου τὴν ψυχὴν, καὶ πολύ με χρέος συνωθεῖ. κακὸς δανειστὴς ὁ Διάβολος, ὅτι οὐχ ὑπομιμνήσκει τὴν ἀπόδοσιν· φιλοτίμως κιχρᾷ, μηδέποτε ἀπολαμβάνειν βουλόμενος. Μόνον τὴν δουλείαν αἱρεῖται καὶ περὶ χρέους οὐ διαφέρεται, δίδωσιν ἵνα πλουτήσωμεν ἐν τοῖς πάθεσι, καὶ τὸ χρέος οὐκ εἰσπράττεται. Θέλω ἀποδοῦναι ἐγὼ, κἀκεῖνος προστίθησιν. Ὅτε δὲ αὐτὸν βιάσομαι, δίδωσιν ἕτερα, ἵνα ἐκ τῶν αὐτοῦ ὀφθῶ καταβαλλόμενος αὐτῷ. Καινοποιεῖ κατ' ἐμοῦ τὰ χρέα, ἐπειδὴ ξένοις πάθεσι τὰ πρῶτα διαῤῥήξει. Τὰ παλαιὰ δοκεῖ πεπληρῶσθαι, καὶ νέα ποιεῖ παθῶν χειρόγραφα. Ὁρᾷ ὅτι ἡ συνέχεια τοῦ χρέους πείθει με εἶναι ἁμαρτωλὸν, καὶ εἰσάγει μοι νεωτέρας ἐπιθυμίας. Ποιεῖ με ἐπιλανθάνεσθαι τῶν παθῶν, ἵνα μὴ ἐξομολογήσωμαι, καὶ πείθει με προστρέχειν τοῖς νέοις, ὡς μὴ ἀδικοῦσι. Συντυγχάνω τοῖς ξένοις πάθεσι, καὶ ἀπασχολούμενος εἰς λήθην τῶν προτέρων ἔρχομαι. Συνδιατίθεμαι τοῖς ἐπελθοῦσι, καὶ πάλιν χρεώστης εὑρίσκομαι. Προστρέχω αὐτοῖς ὡς φίλοις, καὶ κιχρῶντές μοι πάλιν ὡς δεσπόται εὑρίσκονται. Θέλω δὲ ἐλευθερωθῆναι, καὶ γίνομαι δι' αὐτῶν δοῦλος πολύπρατος. Σπουδάζω ἐκκόψαι αὐτῶν τοὺς δεσμοὺς, καὶ ὑπὸ ἑτέρων δεσμῶν κατέχομαι. καὶ

που-

A tabitur: quoniam ad iracundiam præceptorem provocat. Ego quidem meipsum redarguo: sed in peccatis persisto. Peccata mea confiteor: at peccare non cesso. Istud unum pro mea excusatione arripere novi, quod videns non videam; quoniam pœnitentiam agens, iterum peccata committo. Neque post eorum quæ patravi scelerum cognitionem, mutata sententia mearum virium imbecillitatem agnosco ac resipisco: sed meam pœnitentiam accuso, quod sim veluti B servus peccati, & malum nolens faciam; quodque tamquam peccato militans, ei subjiciar, moremque geram: & licet impotens, vectigal tamen pendo propter consuetudinem, quæ in mentem ac cogitationem meam dominatur. Stipendia carnis accipio, pravis affectibus indulgens. A corruptione me anteverti & occupari scio: & tamen ejus jussa facio. Laborem atque molestiam impendentem fugio: & instar canis alicujus catenis devincti, adversus impe- C rantes insurgo. Peccatum quidem odi: sed in passione atque affectione persisto. Iniquitatem fugio: sed etiam nolens a voluptate superor. Peccati jugo naturam subjeci: & inde necessitas adversus me dimanat. Quæ liberum captivant arbitrium, scaturiunt in me passiones. Mentem enim carni sic univi atque obstrinxi, ut ab ea separari non velit. Mutare propositum studeo: sed inveterata mihi repugnat consuetudo. Animam meam liberare D contendo; sed æris me alieni detinet magnitudo. Pessimus fœnerator est Diabolus: non enim in memoriam revocat debiti solutionem. Liberaliter mutuo dat: nec vult unquam repetere. Nullum aliud fœnus, præter unam servitutem, deposcit. Suppeditat ea, quibus cupiditates nostræ magis augeantur; nec debitum exigit. Cupio ego quæ debeo reddere: at ille alia prioribus adjicit. Quando autem ipsum, ut accipiat, cogo; alia subministrat, E ut ex ejus pecuniis videar ipsi fœnus persolvere. Debita adversus me renovat: quoniam novis cupiditatibus priores interrumpit. Cum vetera me persolvisse debita existimo; novis me iterum cupiditatum chirographis obstringit. Videt me debiti continuatione adduci, ut lubens in peccatis persistam; novasque mihi cupiditates injicit. Veterum cupiditatum ut obliviscar, curat, ne illas confitear: & ut ad novas, tamquam minime obfuturas, accedam, F suadet. Novis igitur cupiditatibus adsuesco ac vaco, & temere priores oblivioni trado. Cum ingruentibus paciscor atque convenio: & debitorem me rursus constituo. Ad illas tamquam mihi familiares accedo: & fœnerantes mihi rursus inveniuntur, ut domini. Dum vero ab illis liberari cupio, per eas veluti servus multis venalis efficior. Cum earum præcidere vincula conor, aliis mox catenis detineor: &

dum